# Ἀθωΐτις Στοά.

## 14 [1]).

### Ἀφιερωτικὸν τόπων τῇ Ἁγίᾳ Λαύρᾳ ἐν Ἱερισσῷ.

| Σίγνον | Κωνσταντίνου | Σίγνον | Μαρίας |
|---|---|---|---|
| ἐπωνυμίᾳ | Λαγούδη. | συμβίου | αὐτοῦ. |

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Κωνσταντῖνος ὁ τῇ ἐπωνυμίᾳ Λαγούδης καὶ Μαρία ἡ ἐμὴ σύμβιος, ἡ προγεγονυῖα γαμητὴ Ἰωάννου τοῦ μακαριωτάτου τοῦ Θεσσαλονικέως, οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως ποιήσαντες, τὴν παροῦσαν ἁπλῆν δωρεὰν καὶ ἀμεταμέλητον τιθέμεθα καὶ ποιοῦμεν πρὸς σὲ, Θεοδώρητον τὸν πνευματικὸν ἡμῶν πατέρα καὶ προεστῶτα τῆς Λαύρας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου, καὶ διὰ σοῦ πρὸς τὸ μέρος αὐτῆς καὶ πάντων τῶν ἀδελφῶν. ἐπειδήπερ ἐγὼ Μαρία ἡ σύμβιος τοῦ παρόντος Κωνσταντίνου Λαγούδη ἄνωθεν καὶ ἐξ ἀρχῆς καὶ σχεδὸν εἰπεῖν ἐξ αὐτῆς κοιλίας μητρός μου εἰς τὸν τῆς Λαύρας τόπον ἀνετράφην καὶ παρ' ὅλην τὴν ζωὴν ἡμῶν αὐτῇ προσεκειμεθα καὶ πίστιν πολλὴν καὶ διάθεσιν ἔχομεν πρὸς αὐτὴν διὰ τὴν ἀρετὴν τῶν ἐν αὐτῇ πατέρων καὶ τὴν φιλάνθρωπον καὶ φιλόψυχον αὐτῶν προαίρεσιν, ὅτι θέλουσι πάντας ἀνθρώπους σώζεσθαι, πάντων τῶν προσερχομένων αὐτοῖς ψυχικῆς ἕνεκεν σωτηρίας ἀντιλαμβανόμενοι, καὶ τὰ χρειώδη πᾶσι παρεχόμενοι καὶ ἁπάντων μνημονεύοντες, καὶ παντοίως αὐτοῖς χεῖρα βοηθείας ὀρέγοντες· διὰ ταῦτα, ὡς εἴρηται, πολλὴν πίστιν καὶ διάθεσιν ἔχοντες πρὸς τὴν εὐαγεστάτην Ἁγίαν Λαύραν, ἵνα καὶ ἡμῶν μετὰ πάντων τῶν καταφευγόντων αὐτοῖς τῶν κατὰ ψυχὴν ἀντιλάβωνται καὶ ἐγγράψωσιν

1) См. Византійскій Временникъ V (1898), стр. 483 сл.; VI (1899), стр. 448 сл. Редакція къ сожалѣнію лишена возможности издаваемые документы сличить съ подлинными, находящимися въ Лаврѣ св. Аѳанасія, и считаетъ своимъ долгомъ принести свою благодарность г-ну Эд. Курцъ, оказавшему любезное содѣйствіе при исправленіи корректуръ.

καὶ ἡμᾶς ἐν τοῖς ἱεροῖς διπτύχοις τῆς ἐκκλησίας, τοῦ μνημονεύεσθαι ἐν τῇ θείᾳ ἱερουργίᾳ εἰς ἐξιλασμὸν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ὑπὲρ τοῦ τοιούτου ἀγαθοῦ τὴν πᾶσαν ἡμῶν ὑπόστασιν, ὅση καὶ οἵα ἐστί, ἀπὸ τῆς σήμερον ἡμέρας τῇ Ἁγίᾳ Λαύρᾳ ἤδη προσκυροῦντες καὶ χαριζόμενοι εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους· ἤτοι τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ θεοσώστου κάστρου Ἱερισσοῦ, τὴν παρ' ἡμῶν ἐξωνηθεῖσαν ἀπὸ Ἰωάννην διάκονον τὸν Ξυλοκαράβην, μετὰ πάσης τῆς περιοχῆς αὐτῆς καὶ διακρατήσεως τῶν τε οἰκημάτων καὶ πάντων τῶν ὄντων ἐν αὐτοῖς, ἤτοι βαγενίων καὶ ξυλοβαράδων καὶ λοιπῶν χρηστηρίων καὶ ἀμπελίων, τὸ μὲν ἓν ὂν καὶ διακείμενον ἐν τῇ τοποθεσίᾳ τῶν Καταδαιμόνων, ὅπερ καὶ ἐξωνησάμεθα ἀπὸ Μαρίας Μέντικας, τὸ δὲ ἕτερον ὂν καὶ διακείμενον πλησίον τοῦ χωραφίου τῆς αὐτῆς Μέντικας, ὅπερ ἐξωνησάμεθα ἀπὸ Νικόλαον υἱὸν Θεοδώρου ἀπὸ χωρίου Ζητιτζᾶν· καὶ ἀνατιθέαμεν ταῦτα, ὡς εἴρηται, καὶ δωρούμεθα τῇ Ἁγίᾳ Λαύρᾳ καὶ τῷ μέρει αὐτῆς, δεδωκότες αὐτοῖς καὶ τοὺς ἀγοραίους χάρτας αὐτῶν, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας ἵνα ἔχωσι ταῦτα εἰς ἰδίαν ἐξουσίαν καὶ κυριότητα οἱ τῆς Λαύρας πατέρες καὶ οἱ μετ' αὐτοὺς καὶ τὸ μέρος αὐτῶν εἰς τὸ διηνεκές. αὐτοὶ γὰρ ἡμεῖς ἐσμεν ἀπὸ τοῦ νῦν ὡς κατὰ πνεῦμα ἑνωθέντες αὐτοῖς καὶ μία ψυχὴ γεγονότες καὶ τῆς Λαύρας ὄντες ἀδελφοὶ καὶ ἡμεῖς, καὶ ἕως μὲν ἂν ζῶμεν καὶ τῷ βίῳ τούτῳ περίεσμεν, ἵνα ἔχωμεν εἰς ταῦτα τὴν ἐξουσίαν καὶ δεσποτείαν αὐτῶν, ἐπείπερ ἄλλοθεν διαζῆν οὐκ ἔχομεν καὶ τὰ πρὸς τροφὴν ἀναγκαῖα πορίζεσθαι· μετὰ δὲ τὴν ἡμῶν ἀποβίωσιν ἵνα ἀναλαμβάνηται τούτων ἡ Λαύρα, ὡς εἴρηται, καὶ τὸ μέρος αὐτῆς, ἐπεὶ πατέρες ἡμῶν εἰσιν ἀπὸ τοῦ νῦν ὡς καὶ ἡμεῖς αὐτῆς τέκνα πνευματικά· οὐδενὸς οὖν τῶν ἁπάντων ἔχομεν ἐξουσίαν ἀπὸ τοῦ νῦν ἢ πρόφασιν τὴν οἱανοῦν εὔλογον ἐπὶ μετάμελον ἐλθεῖν καὶ πρὸς ἀνατροπὴν χωρῆσαι τῆς παρούσης δωρεᾶς καὶ τῶν καλῶς δεδογμένων ἡμῖν, ἢ ἴσως ἡμεῖς αὐτοὶ ἤ τις τῶν οἰκείων ἡμῶν κληρονόμων ἢ συγγενῶν ἢ ἰδίων. ἀλλ' ὅστις ἂν φανείη ποτὲ καιρῷ ἢ χρόνῳ τοῦτο ποιῶν καὶ βουληθείη ἀκυρῶσαι τὴν παροῦσαν προσκυρωτικὴν δωρεάν, ὁ τοιοῦτος ἀλλότριος εἴη τῆς τῶν χριστιανῶν πίστεως, καὶ σχοίη τὴν ἀρὰν τῶν ἁγίων τιη' πατέρων ὡς ἐχθρὸς καὶ πολέμιος τῆς ψυχικῆς σωτηρίας ἡμῶν καὶ τῷ διαβόλῳ καθ' ἡμῶν βοηθῶν, παράσχοι δὲ καὶ λόγῳ προστίμου εἰς τὸ μέρος τῆς εὐαγεστάτης Λαύρας χρυσίου λίτραν μίαν καὶ ἐν τῷ βασιλικῷ βεστιαρίῳ νομίσματα κδ'. καὶ εἶθ' οὕτω βεβαίαν καὶ ἰσχυρὰν καὶ ἀμετάτρεπτον εἶναι βουλόμεθα τὴν παροῦσαν ἁπλῆν δωρεὰν καὶ ἀμεταμέλητον, καὶ ἐπὶ παντὸς δικαστηρίου ἐμφανίζομεν ἐξωρίσθαι μὲν τοὺς αὐτὴν ἀνατρέπειν ἐθέλοντας, αὐτὴν δὲ τὴν νικῶσαν λαμβάνειν ψῆφον καὶ δικαιοῦσαν τῷ μέρει τῆς Λαύρας ψυχικῆς σωτηρίας ἡμῶν ἕνεκεν.

Ἐγράφη ταῦτα διὰ χειρὸς Κωνσταντίνου τοῦ ἐν τῷ ἄρχοντι διακειμένου Ἱερισσῷ. μηνὶ Φεβρουαρίῳ, ἰνδικτιῶνος ια', ἔτους ,ςφκα' (=1013).

+ Νικηφόρος ἐλέῳ θεοῦ ἐπίσκοπος Ἱερισσοῦ οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

+ Στέφανος κουβουκλείσιος παρὼν ἐπὶ τῇ παρούσῃ δωρεᾷ καὶ μαρτυρῶν ὑπέγραψα ἰδιοχείρως.

+ Γεώργιος ἀνεψιὸς τοῦ μακαριωτάτου ἐπισκόπου ὑπέγραψα ἰδιοχείρως.

+ Ἰωάννης Στεφάνου ὑπέγραψα ἰδιοχείρως.

+ Γεώργιος πρεσβύτερος ὑπέγραψα ἰδιοχείρως.

+ Λέων υἱὸς τοῦ μακαρίτου πρωτοπαπᾶ ὑπέγραψα ἰδιοχείρως.

+ Κυριακὸς πρεσβύτερος ὑπέγραψα ἰδιοχείρως.

+ Δημήτριος ἀπὸ δρουγγαρίων ἐπεβεβαίωσα.

## 15.

### Ἔγγραφον ἀνταλλαγῆς.

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Σίγνον | Γεωργίου | Σίγνον | Ἑλένης | Σίγνον | Θεοδώρου | Σίγνον | Λέοντος |
| υἱοῦ | Σακκούλη. | θυγατρός | αὐτοῦ. | ἀνδρός | αὐτῆς. | γαμβροῦ | αὐτῶν. |

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡμεῖς οἱ προαναφερόμενοι οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἰδιοχείρως ποιήσαντες, ὅ τε Γεώργιος καὶ Ἑλένη καὶ Θεόδωρος ὁ ταύτης σύνευνος, καὶ Λέων ὁ τούτων γνήσιος γαμβρός, ἀμφότεροι υἱοὶ καὶ κληρονόμοι Σακκούλη, ἀσφαλιζόμεθα διὰ τοῦ παρόντος ἡμῶν ἰδιοχείρου πρὸς σὲ Εὐστράτιον μοναχὸν καὶ ἡγούμενον τῆς Λαύρας τῆς μεγάλης καὶ πρὸς σὲ Αὐξέντιον μοναχὸν καὶ οἰκονόμον Ἱερισσοῦ ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει. ἐπεὶ διαφερόμεθα ἡμεῖς ἔχοντες ἀμπελῶνα εἰς τὰς Συκὰς ὡσεὶ πλέθρων δύο σὺν τῷ φράκτῃ καὶ χωράφιον πλησίον τοῦ αὐτοῦ ἀμπελῶνος ἔχον ὀργυιὰς γύροθεν τοῦ πλέθρου ρξε', καὶ ἰδοὺ τὴν σήμερον ἡμέραν ἐξ ἀρεσκείας ἡμῶν καὶ ὑμῶν, χωρὶς βίας καὶ ῥᾳδιουργίας ἢ φόβου ἢ δελεασμοῦ, ἀντικαταλλάσσοντες τοῦτον τὸν ἀμπελῶνα σὺν τῷ χωραφίῳ καταλλάσσομεν πρὸς τὴν σεβασμίαν ταύτην Λαύραν, καὶ ἀναλαμβανόμεθα τὴν σήμερον ἀντ' αὐτῶν ἕτερον ἀμπελῶνα ἐκ τοῦ μέρους τῆς Λαύρας εἰς τοῦ Θεοφίλου τὸν λόφον πλησίον τῆς Τρεσπουλίας ὡσεὶ πλέθρων τεσσάρων ἐν

διπλῇ ποσότητι, καὶ ἕτερον ἀμπελῶνα σὺν τῷ πατητηρίῳ καὶ τῷ χερσαμπέλῳ μέχρι τοῦ τράφου τοῦ ὄντος μέσον τοῦ ἀμπελῶνος εἰς τὰς Τεσράσαις καὶ λοιπὰ δένδρη, ἤγουν καὶ αὐτὰ ἐν διπλῇ ποσότητι. ὡσαύτως ἀντιλαμβανόμεθα καὶ τὸ ἀντίπερα τοῦ τράφου ἀμπέλιον σὺν τῷ χερσαίῳ τόπῳ, καὶ δεδώκαμεν καὶ ἡμεῖς οἱ προαναφερόμενοι ἀντὶ τῶν τοιούτων ἀμπελώνων καὶ χερσαίων τόπων ἕτερον χωράφιον εἰς τὴν Πρόβλακα, καὶ ἰδοὺ ἀπὸ τὴν σήμερον ἡμέραν ἔχειν καὶ δεσπόζειν τὴν Λαύραν τὰ ἡμέτερα καὶ ἡμεῖς τὰ τῆς Λαύρας. εἰ δὲ φανῶμεν ἀμφότεροι, εἴτε τὸ μέρος τῆς Λαύρας, εἴτε τὸ μέρος τὸ ἡμέτερον, κίνησιν τὴν οἱανοῦν ποιῆσαι, ἢ κληρονόμος τις εὑρεθῇ ἀνατρέπων, ἵνα ὑποστῶμεν ἡμεῖς τὰ διδόμενα τόπια παρ' ἡμῶν· καὶ οὕτως ὁ ἀνατρέπων ἐν πρώτοις μὲν ἔστι ξένος τῆς ἁγίας τριάδος, ζημιούμενος καὶ λόγον προστίμου νομισμάτων λίτραν μίαν ἐν τῷ βασιλικῷ βεστιαρίῳ· καὶ εἶθ' οὕτως ἰσχυρὰν καὶ βεβαίαν μένειν τὴν τοιαύτην ἀνταλλαγήν.

Ἐγράφη ὁ τοιοῦτος λόγος τῆς φανερᾶς ἀνταλλαγῆς διὰ Γρηγορίου ἀνεψιοῦ τοῦ μακαριωτάτου ἐπισκόπου κατενώπιον τῶν ὑπογραψάντων μαρτύρων. μηνὶ Νοεμβρίῳ, ἰνδικτιῶνος β', ἔτους ͵ςφκζ' (= 1018).

+ Νικηφόρος ἐλέῳ θεοῦ ἐπίσκοπος Ἱερισσοῦ οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

+ Θεοδόσιος δομέστικος οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

+ Λέων πρεσβύτερος καὶ ἱερομνήμων οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

+ Γεώργιος πρεσβύτερος ὁ Ῥαζῆς οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

+ Γεώργιος πρεσβύτερος ὁ Φείλης (?) οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

+ Βασιανὸς καὶ (?) Πέτρος ὁμοίως οἰκείᾳ χειρὶ ὑπεσημηνάμην.

## 16.

### Περὶ τοῦ μετοχίου τῆς μονῆς τοῦ Σωτῆρος ἐν Ἱερισσῷ.

Ἰωάννης Βέρρης βασιλικὸς νοτάριος τῶν οἰκειακῶν στρατευμάτων καὶ ἀναγραφεὺς Σμολένων σὺν τῇ νέᾳ διοικήσει Θεσσαλονίκης καὶ Σερρῶν, ὁ Καταφλορῶν, κατὰ τὴν θείαν καὶ βασιλικὴν πρόσταξιν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἔρευναν ποιούμενος τῶν ἐπεχόντων πρὸ ἡμῶν πρακτηρίων πράξεων, λέγω δὴ Ἰωάννου Ἀσβεστᾶ ἀσηκρίτου καὶ γεγονότος

κριτοῦ καὶ ἀναγραφέως Βολεστρῶν καὶ Στρυμῶνος καὶ Θεσσαλονίκης, πρὸς δὲ καὶ Ἀνδρονίκου αὐθέντου καὶ κριτοῦ χρηματίσαντος τῶν αὐτῶν θεμάτων καὶ μέχρι τοῦ δισυπάτου Λέοντος, ὡς κἀκείνου κατὰ τὴν παροῦσαν γῆν κριτοῦ καὶ ἀναγραφέως χρηματίσαντος· ἀκριβῶς καὶ ἡμεῖς τὰς τούτου πράξεις ἀναζητήσαντες, πολυπραγμονήσαντές τε καὶ ἐπιμελῶς διελθόντες ἀνεγραψάμεθα καὶ τὸ μετόχιον τοῦ Σωτῆρος τῆς μονῆς τοῦ Καλλινίκου τὸ ἀπὸ τῆς ὑποταγῆς τοῦ κάστρου Ἐρισσοῦ, καὶ ἐτυπώσαμεν καὶ τὸ τούτου δημόσιον κατὰ τὸ δέον ἐπαυξήσαντες ἐπὶ τῶν πρῴην δημοσιακῶν τελῶν ἐκτελέσματι, καθὼς ὑποτέτακται ἐν τῇ θείᾳ διοικήσει Θεσσαλονίκης, ἐνορίᾳ Ἐρισσοῦ τὸ ἄνω μετόχιον τοῦ Σωτῆρος τῆς μονῆς τοῦ Καλλινίκου, ὑπὲρ γῆς σπαρμένης, χερσαίας, νομαδιαίας, καὶ ὀρεινῆς, σὺν καὶ τῶν ἔσωθεν καὶ τῶν ἑτέρων οὐδαμινῶν ἀκινήτων ὀσπητιαίων διὰ Βαρθολομαίου μοναχοῦ καὶ καθηγουμένου τοῦ αὐτοῦ μετοχίου τοῦ Σωτῆρος τῆς μονῆς Καλλινίκου, σὺν τῇ νῦν παρ' ἡμῶν γενομένῃ αὐξήσει, τὸ πᾶν ὑπέρπυρα φʹ, καὶ τὸ κανίσκιον αὐτοῦ ψωμὸν ἕν, ὀρνίθων ἕν, κριθῆς μόδια ζʹ, οἴνου μέτρα τρία, καὶ πλεῖον οὐδέν. ἐφ' ὧν γὰρ ὑπεγράφη καὶ σφραγισθὲν ἐπεδόθη μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος βʹ, ἔτους ͵ϛφπζʹ (= 1079).

+ Ἰωάννης Βέρρης βασιλικὸς νοτάριος τῶν οἰκειακῶν στρατευμάτων, Σμολένων ἀναγραφεὺς σὺν τῇ νέᾳ διοικήσει Θεσσαλονίκης καὶ Σερρῶν, ὁ Καταφλορῶν.

## 17.

### Διαφορὰ περί τινος τόπου μεταξὺ τῶν μονῶν Λαύρας καὶ Ξηροποτάμου.

Οἱ τῆς εὐαγεστάτης μεγάλης Λαύρας μοναχοὶ τοῦ μεγάλου Ἀθανασίου, καὶ οἱ τῆς σεβασμίας μονῆς τοῦ Ἁγίου Νικηφόρου τοῦ Ξηροποτάμου, φιλονεικίαν ἐσχηκότες περί τινος χωραφιαίου τόπου τοῦ ὄντος καὶ διακειμένου ἐν τῇ περιοχῇ τοῦ Λαγούδη· καὶ οἱ μὲν τῆς μεγάλης Λαύρας ἔλεγον, ὅτι ἐν τοῖς τῆς Λαγουδίας δικαίοις διαφέρει τὸ τοιοῦτον χωράφιον, ὅπερ ἀπέδοτο ἡ αὐτὴ Μαρία ἡ Λαγουδία μετὰ Κωνσταντίνου τοῦ ταύτης ἀνδρός, μετὰ πάσης αὐτῆς τῆς οἰκίας καὶ διακρατήσεως, ψυχικῆς ἕνεκεν σωτηρίας αὐτῆς καὶ τοῦ ταύτης ἀνδρὸς ἐν τῇ μεγάλῃ Λαύρᾳ· οἱ δὲ τοῦ Ἁγίου Νικηφόρου τοῦ Ξηροποτάμου ἔλεγον ὅ τι τῇ ἡμετέρᾳ μονῇ διαφέρει. καὶ πολλὰ δικάσιμα καὶ συζητήσεις ἐσχηκότες ᾑρετίσαντο ἀμφότεροι, ἵνα χωρισθῇ διὰ ζώσης φωνῆς καὶ τῶν ἀρχαιότητι διαφερόντων ἀνδρῶν τὸ τοιοῦτον ἐπίμαχον χωράφιον· ὃ καὶ γέγονεν. καὶ δὴ λαβόμενοι Βαρνάβας

μοναχὸς καὶ οἰκονόμος τοῦ μετοχίου τῆς Ἱερισσοῦ Δημήτριον τὸν Μακρὺν, ἄνδρα συνετὸν καὶ ἀγαθῆς πολιτείας ὑπάρχοντα, συμπαρόντων καὶ ἡμῶν τῶν καὶ κάτωθεν ὑπογραψάντων, παρόντων καὶ Θεοδωρήτου μοναχοῦ καὶ μεγάλου οἰκονόμου τοῦ Ξηροποτάμου, καὶ Δημητρίου μοναχοῦ καὶ οἰκονόμου τῆς Ὀζολίμνης, τοῦ μετοχίου τῆς αὐτῆς μονῆς τοῦ Ξηροποτάμου, καὶ ἀπελθόντες ἀμφότεροι ἐπὶ τὸ ἐπίμαχον χωράφιον, οἱ ἐκ προστάξεως τοῦ καθηγουμένου, ὡς εἴρηται, τῆς μονῆς τοῦ Ξηροποτάμου ἐλθόντες, ἐκβαλὼν Δημήτριος μοναχὸς τὸν τίμιον σταυρὸν δέδωκεν αὐτὸς τῷ προρηθέντι Δημητρίῳ τῷ Μακρεῖ, λέγοντες· ἰδοὺ ὁ τίμιος σταυρὸς, λάβε τοῦτον, ὡς ἀρχαιότητι διαφέρων, καὶ διάλυσον τὸ ἐπίμαχον τόπιον· καὶ ἐνώπιον ἡμῶν λαβόμενος τὸν τίμιον σταυρὸν ὁ εἰρημένος Δημήτριος ὑπέδειξεν ἡμῖν πρῶτον τὸ σύνορον, ὃ ἵσταται πρὸς δύσιν μέσον τοῦ αὐτοῦ χωραφίου, διαχωρίζον τὸ χωράφιον τοῦ Σγουράκη πρὸς δύσιν, ἐν ᾧ καὶ σταυρὸν ἐν αὐτῷ πεποιήκαμεν· καὶ κόπτει τὰ ἴσα ὁ αὐτὸς Δημήτριος πρὸς ἄρκτον τοῦ αὐτοῦ συνόρου μέχρι τῆς Στεφανέσσας τοῦ χωραφίου τοῦ Ξηροποτάμου, ἐν ᾧ ῥιζιμαία πέτρα ὑπάρχει, καὶ ἐσφραγίσαμεν αὐτὴν, καὶ ἐκνεύει πρὸς ἀνατολὰς κρατοῦν τὴν αὐτὴν Στεφανέσσαν μέχρι τοῦ χερσαμπέλου Κωνσταντίνου τοῦ Χαρσιανίτου, καὶ κάμπτει πρὸς μεσημβρίαν διαχωρίζον ἀριστερὰ τὸ χερσάμπελον τοῦ Χαρσιανίτου, καὶ διέρχεται τὴν ἀχλαδέαν μέχρι τοῦ βάσταγος, καὶ κάμπτει πρὸς δύσιν ἀφίνον ὄπισθεν τὸ χερσάμπελον τῆς Λαγουδίας, ὅπερ ἐπονομάζεται Καταδαίμονες, καὶ ἀποδίδει μέχρι τοῦ αὐτοῦ χωραφίου τοῦ Σγουράκη τὰ ἴσα τοῦ αὐτοῦ συνόρου, ἔνθα καὶ ἤρξατο. ταῦτα ἐνώπιον ἡμῶν πραχθέντα ἐν φόβῳ θεοῦ καὶ ἀληθείας καὶ μὰ τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐγράψαμεν εἰς τὸ μαρτυρεῖν, καὶ πρὸς περισσοτέραν ἀσφάλειαν καὶ διηνεκῆ δικαίωσιν καὶ καταδίκην τοῦ μέρους τῆς μονῆς Ξηροποτάμου ἐγγράφως τοῦτο ἐξεθέμεθα, ὡς ἂν ἀπὸ τοῦ νῦν ἔχωσιν ἀμφότεροι τὸ εἰρηνικὸν καὶ ἄμαχον, καὶ διὰ τοῦτο τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς πεποιήκαμεν. τὸ δὲ ὅλον ὕφος προετρεψάμεθα γενέσθαι χειρὶ Γεωργίου κουβουκλεισίου καὶ νομικοῦ· μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος δ΄, ἔτους ͵ςφπθ΄ (= 1080).

+ Δημήτριος ὁ Μακρὺς ὁ καὶ διαχωρίσας τὸ τοιοῦτον χωράφιον ὑπέγραψα τὸν τίμιον σταυρὸν, τὸ δὲ ὕφος τοῦ νομικοῦ.

+ Δημήτριος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ δευτερεύων παρὼν καὶ μαρτυρῶν ὑπέγραψα ἰδιοχείρως.

+ Λέων πρεσβύτερος ἐλέῳ θεοῦ καὶ δομέστικος παρὼν ὑπέγραψα.

+ Γεώργιος ὁ ἔκγονος καὶ οἰκονόμος τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ παρὼν ὑπέγραψα.

+ Δημήτριος ὁ Φιλοκοράσης παρὼν ὑπέγραψα.

+ Γεώργιος κουβουκλείσιος καὶ νομικὸς ὁ καὶ τὸ ὅλον ὕφος γράψας ἐτελείωσα.

## 18.

### Πρᾶσις.

Ἰωάννης καὶ Μαρία οἱ γνήσιοι αὐτάδελφοι καὶ παῖδες τοῦ παπᾶ Δημητρίου ἐκείνου τοῦ υἱοῦ τοῦ Φωτεινοῦ, οἱ τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς ἡμῶν ἰδιοχείρως ποιήσαντες, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τελείαν καὶ ἀμεταμέλητον ἀπεντεῦθεν ἤδη πρᾶσιν μετὰ καθολικοῦ δεφενσίωνος καὶ γενικῆς ὑποθήκης τῆς καθ' ἡμᾶς ἁπάσης περιουσίας, ἧς τε ἔχομεν καὶ ἧς μέλλομεν προσεπικτίζεσθαι, τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως καὶ ἀβιάστως χωρίς δέ τινος δόλου καὶ τρόπου, οὐ κατά τινα βίαν ἢ χλεύην ἢ ἀπάτην ἢ τῶν ἄλλων ἁπάντων τῶν τοῖς νόμοις ἀπηγορευμένων, πρός σὲ Κωνσταντῖνον τὸν τὴν προσηγορίαν Τριφύλλην καὶ πρὸς ἅπαν τὸ ὑπὸ σὲ πρόσωπόν τε καὶ μέρος, κληρονόμους δηλαδὴ καὶ διαδόχους καὶ παντοίους διακατόχους σου, καὶ ἔστιν ὡς ὑποτέτακται. τῇ σήμερον γὰρ ἡμέρᾳ ὡμολογήσαμεν καὶ ὁμολογοῦμεν διαπεπρακέναι καὶ ἀποδεδωκέναι πρός σὲ τὸν εἰρημένον Κωνσταντῖνον τὸν Τριφύλλην καὶ πρὸς ἅπαν τὸ μέρος σου τὸ ἀπὸ μητρῴας κληρονομίας (?) περιελθόν τι ἡμῖν ἀμπέλιον μοδίων τριῶν πλέον ἢ ἔλασσον, ὅσον καὶ οἷόν ἐστιν ἠμελημένον. ἔτι σὺν τούτῳ πιπράσκομέν σοι καὶ χέρσον μοδίων δύο πλέον ἢ ἔλασσον, τὸ πρὸς ἀνατολὰς κείμενον τοῦ τοιούτου ἀμπελίου, εἰς τὸ παράδρομον ἔχον τὸ τοιοῦτον χέρσον καὶ δένδρα κάρπιμα, ἐλαίαν μίαν καὶ συκέας. ταῦτα τοιγαροῦν τὰ ἐν τῇ περιοχῇ διακείμενα τοῦ Μαρμαροσύρτη καὶ πλησίον ὄντα, κατὰ μὲν ἀνατολὰς Ἰωάννου τοῦ γειτονιάρχου, ἐκ δύσεως Νικολάου Κλινικοῦ τοῦ Στριβοῦ, ἐξ ἄρκτου ἡ σὴ τοῦ ἠγορακότος δεσποτεία, ἐκ μεσημβρίας δὲ ὁ δρόμος ὁ ἀπὸ τὸν Ἅγιον Θωμᾶν εἰς Θεσσαλονίκην ἀπερχόμενος, ἀπεδόμεθα πρὸς σὲ τὸν ἠγορακότα Κωνσταντῖνον τὸν Τριφύλλην πράσει βεβαίᾳ καὶ ἀμεταμελήτῳ καὶ ἐκομισάμεθα τὸ ὑπὲρ αὐτῶν στοιχηθὲν παρ' ἡμῶν τίμημα καὶ ἀρεσθὲν τοῦ χρυσίου διαχαράγματος νομίσματα τεσσαράκοντα καὶ πέντε τραχέα. ἃ δὴ καὶ λαβόντες ταῦτα τὰ τοῦ χρυσοῦ τεσσαράκοντα πέντε νομίσματα, τὸ ὅλον δηλονότι τίμημα τῶν τοιούτων ἀκινήτων δικαίων, καλῶς ἔχειν καὶ σὲ καὶ διακατέχειν τὰ πεπραμένα σοι, τό τε ἀμπέλιον καὶ τὸ χέρσον, τὴν ἅπασαν ἡμῶν δεσποτείαν καὶ κυριότητα ἀνεγκρατήτως ἐπὶ τελείᾳ σου

τῇ δεσποτείᾳ καὶ κυριότητι εἰς τὸ πωλεῖν αὐτά, δωρεῖσθαι, προικίζειν, ἀνταλλάττειν, βελτιοῦν τὸ χέρσον, κληρονόμοις ἐᾶν καὶ διαδόχοις καὶ τοσαῦτα ἕτερα πράττειν σε ἐπ' αὐτοῖς, ὅσα οἱ νόμοι ἄδειαν διδόασιν καὶ ἐξουσίαν ποιεῖν καὶ πράττειν ἀκωλύτως τοῖς τελείοις δεσπόταις. εἰ δέ ποτε καιρῷ ἢ χρόνῳ μετάμελοι γενώμεθα καὶ πρὸς ἀνατροπὴν βουληθῶμεν χωρῆσαι τῆς παρούσης ἡμῶν καθαρᾶς πράσεως, καὶ οὐ μᾶλλον εἰ καὶ πρός τινος ὀχλήσεως τοῦ οἱουδήποτε προσώπου οὐχ ἱστάμεθα καὶ διεκδικῶμεν καὶ διαφενδεύομεν καθολικὴν δεφενσίωνα καὶ παντάπασιν σὲ τηρῶμεν ἀνενόχλητον καὶ ἀζήμιον μετὰ παντὸς τοῦ μέρους ἡμῶν καὶ τῶν κληρονόμων καὶ διαδόχων ἡμῶν σὺν παντὶ τῷ μέρει σου καὶ τοῖς κληρονόμοις καὶ διαδόχοις σου, μὴ μόνον ὃ εἰλήφαμεν ἀπὸ σοῦ τίμημα εἰς τὸ διπλάσιον ζημιούμεθα πρὸς σὲ καὶ τὸ μέρος σου, ἀλλὰ καὶ λόγῳ προστίμου ἐξαπαιτούμεθα πρὸς μὲν τὸ κατὰ σὲ πρόσωπον καὶ μέρος χάραγμα χρυσῶν νομισμάτων λίτραν μίαν, πρὸς δὲ τὸ μέρος τοῦ δημοσίου τῶν κατανομίων σὺν καὶ πασῶν σου τῶν ἐξόδων καὶ βελτιώσεων, ὡς ἀποταξάμενοι καὶ τὸν ὑπερθεματισμὸν τοῦ διπλασιασμοῦ τοῦ τιμήματος καὶ πᾶσαν ἄλλην δικαιολογίαν καὶ πρόφασιν, μὰ τὸν κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὴν ὑπεραγίαν Θεοτόκον. ὑποτιθέμενοί σοι καὶ λόγῳ ὑποθήκης τὸ πατρῷον ἡμῶν διώροφον ὀσπήτιον, τὸ πλησίον Κωνσταντίνου ἱερέως τοῦ Πατζικοῦ ἐν τῇ γειτονίᾳ τῶν Ἀσωμάτων, καὶ πᾶσαν ἡμῶν τὴν περιουσίαν ἀλληλεγγύως καὶ ἀλληλοδιαδόχως. ἐπὶ τοῦτο γὰρ καὶ τὴν παροῦσαν καθαρὰν πρᾶσιν ἐξεθέμεθα πρὸς σέ, γραφεῖσαν χειρὶ Μιχαὴλ ἱερέως τοῦ Καξίκη νοταρίου, <βεβαιοῦντος> τοῦ χαρτουλαρίου τῆς νέας <Λοβελισιόνος> Στεφάνου, κληρικοῦ τῆς ἁγίας Σοφίας καὶ πριμικηρίου τῶν ἐν Θεσσαλονίκῃ νομικῶν, τοῦ Ἀργυροῦ. μηνὶ Δεκεμβρίῳ, ἰνδικτιῶνος ϛ', ἔτους ͵ϛχϛ' (=1097).

+ Ἰωάννης καὶ Μαρία κτλ.

+ Θεόδωρος υἱὸς Χωφέως ὁ σκηνοποιὸς στέργων τὴν πρᾶσιν τῆς συμβίου μου Μαρίας καὶ μαρτυρῶν ὑπέγραψα.

+ Καθαρὸς πρεσβύτερος τοῦ Κυρτοῦ μαρτυρῶν ὑπέγραψα.

+ Νικόλαος διάκονος ὁ τοῦ Στάρου μαρτυρῶν ὑπέγραψα.

+ Ἰωάννης ἀπὸ τῶν Καλυμαυκάδων ὁ Ἀρμένης.

+ Λέων Γοννοσείων ὁ Συναδινός.

+ Μιχαὴλ ἱερεὺς ὁ νοτάριος.

+ Στέφανος κουβουκλείσιος τῆς ἐν Θεσσαλονίκῃ μεγάλης ἐκκλησίας, χαρτουλάριος τῆς νέας Λοβελισιόνος καὶ πριμικήριος τῶν ταβουλαρίων, τὴν παροῦσαν πρᾶσιν βεβαιῶν ὑπέγραψα.

## 19.

## Ἀφιερωτήριον Ματθαίου Περδικάρου κτήτορος τῆς ἐν Κωνσταντινουπόλει Ἁγιοτριαδικῆς μονῆς[1]).

Ματθαῖος Περδικάρης προέταξα. ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ματθαῖος ἱερομόναχος ὁ Περδικάρης καὶ κτήτωρ τῆς αὐτοδεσπότου σεβασμίας γονικῆς μου μονῆς Ἁγιοτριαδικῆς, ὁ αὐτοχείρως ἐνταῦθα προτάξας τὸ παρὸν τῆς αὐτοπροαιρέτου ἀποκαταστάσεως καὶ ἀφιερώσεως τῆς Ἁγιοτριαδικῆς ἐλευθέρας, παντελευθέρας καὶ αὐτοδεσπότου, ὡς εἴρηται, μονῆς <ἔγγραφον>, ποιῶ πρὸς ὑμᾶς τοὺς κατὰ κόσμον γνησίους υἱούς μου εὐλαβεῖς τρεῖς μοναχούς, τὸν κῦρ Διονύσιον, τὸν κῦρ Ἰωαννίκιον καὶ τὸν κῦρ Μάξιμον, δι' οὗ ἐγγράφου καὶ ἀπ' ἐντεῦθεν καὶ ἀπ' αὐτῆς τῆς σήμερον θέλω ἔχειν ὑμᾶς εἰς ἐξουσίαν ὡς κληρονόμους μου τὴν τοιαύτην μονὴν, τὴν κειμένην ἀνατολικωτέρως τῆς ἐνταῦθα Ἑβραΐδος (εἰς ἣν μονὴν καὶ ὑπὲρ ἀνεγέρσεως κατεβαλόμην τὸν ἅπαντά μου βίον), καὶ ἄρχειν ὑμᾶς ἐν αὐτῇ· καὶ ἀπὸ τοῦ νῦν ἄδειαν ἔχειν γνώμῃ τῶν τριῶν παραπέμπειν ταύτην ὅπου καὶ βούλησθε ἀκωλύτως παρ' οἱουδήτινος τῶν ἁπάντων, καὶ μετὰ θάνατόν μου ἐξάγειν σε τὸν κῦρ Διονύσιον τοὺς δύο μοναχοὺς[2]) εἰς τὴν ἡγουμενείαν ὡς πρωτόγονον καὶ ὡς ἐξ οἰκείων σου ἱκανὰς ἐξόδους ἐν τῇ αὐτῇ μονῇ καταβαλόντα, καθὼς οἴδασιν οἱ πολλοὶ καὶ αὐτοὶ οἱ μοναχοὶ δύο ἀδελφοί σου, οἵτινες καὶ ὀφείλουσί σοι ὑποτάσσεσθαι καὶ ὑπακούειν, ὡς δεῖ καὶ ὡς μοναχοῖς πρέπει, καὶ μετὰ τὴν σὴν ἀποβίωσιν, εἴπερ οὐ φθάσητε ὡς ἐξουσιασταὶ καὶ κληρονόμοι μου κοινῇ βουλῇ τῶν τριῶν παραπέμψαι τὴν τοιαύτην ἐλευθέραν παντελευθέραν καὶ αὐτοδέσποτον γονικήν μου Ἁγιοτριαδικὴν μονὴν πρὸς πρόσωπον ἕτερον, ἔστω ἐκ τούτων τῶν δύο ὁ πολυχρονιώτερος, ὁ καὶ Ἰωαννίκιος καλούμενος, εἰς τὴν ἀρχὴν τῆς αὐτῆς μονῆς, καὶ μετὰ τοῦτον ὁ ἄλλος, ὃς καὶ ὀφείλει ἀποκαθιστᾶν ἀκωλύτως καὶ ἀπαρεμποδίστως εἰς τὴν αὐτοῦ τελευτὴν πρόσωπον εὐάγωγον, ὁποῖον βούλεται, δυνάμενον συνιστᾶν καὶ περιποιεῖσθαι παντοίως τὴν αὐτὴν μονήν. καὶ οὕτω καθεξῆς ὀφείλει αὕτη διέρχεσθαι ἀνεπικωλύτως εἰς τὴν ἡγουμενείαν ἐκ προσώπου εἰς πρόσωπον, μέχρις ἂν ὁ παρὼν διαρκοίη αἰών. ἐν ἐπιτιμίοις δὲ ἔστω ὁ ἀπὸ τῆς τελευτῆς μου καὶ

1) Πρὸ πενταετίας ἔπεμψα τοῦτο εἰς τὴν ἐν Κωνσταντινουπόλει «Ἑταιρείαν τῶν Μεσαιωνικῶν Ἐρευνῶν». Ἀνάγνωθι «Εβδομαδιαίαν Ἐπιθεώρησιν Νεολόγου», 1892, σελ. 129 καὶ 713.

2) Οἱ τρεῖς οὗτοι ἀδελφοὶ ἀφιέρωσαν τὴν ἐν λόγῳ μονὴν εἰς τὴν Λαύραν, ἐν ᾗ καὶ ἐγκατεβίωσαν.

μέχρι τοῦ αἰῶνος τούτου ἡγουμενεύων ἐν τῇ δεδηλωμένῃ ἐλευθέρᾳ παντελευθέρᾳ γονικῇ μου αὐτοδεσπότῳ Ἁγιοτριαδικῇ μονῇ, φροντίζειν παντοίως τῆς συστάσεως καὶ τῆς ἀνακτήσεως ταύτης. καὶ γὰρ ἀφιερῶ ἐν αὐτῇ ἁγίαν εἰκόνα τῆς ὑπεράγνου δεσποίνης ἡμῶν θεοτόκου ἐγκεκοσμημένην ἐξ ἀργύρου· τὰ περιελθόντα μοι ἐξ ἀγορασίας ἀνατολικώτερα καὶ ἔγγιστα ταύτῃ κείμενα τρία οἰκήματα, ὧν τὰ δύο μονώροφα καὶ τὸ ἓν διώροφον μετὰ προστόμου μονομεροῦς αὐλῆς καὶ φρέατος· ἀλλὰ καὶ τὰ μεσημερινὰ τρία τῆς αὐτῆς μονῆς θεωρούμενα· ἕτερα τρία μονώροφα γονικά μου οἰκήματα μετὰ τῆς μονομεροῦς τούτων αὐλῆς καὶ τοῦ φρέατος καὶ τὰ πλησίον τούτων ἕτερα μητρῷα ὑμῶν τῶν αὐταδέλφων καὶ παίδων μου δύο διώροφα οἰκήματα ‹μετὰ› τῆς μονομεροῦς τούτων αὐλῆς καὶ τοῦ φρέατος, τὴν ὑπάνοιξιν ἀμφότερα ἔχοντα πρὸς τὴν Ἑβραΐδα. πρὸς ἐπὶ τούτοις ἀφιερῶ τὸ τρίτον μέρος τοῦ πρὸς ἀνατολὰς τῆς αὐτῆς μονῆς διακειμένου μονωρόφου οἰκήματος καὶ τοῦ πρὸς δύσιν τῆσδε τῆς πόλεως[1]) ἐν ἐδάφει τοῦ Σαρωμᾶ ἀμπελῶνος τῶν τριῶν μοδίων ὑπὲρ μνημοσύνων, ἐαθέντων ἐμοὶ καὶ ἑτέροις ἱερεῦσι δύο· τὸν ἐν τῇ τοποθεσίᾳ τῶν Σωμμάτων καὶ πλησίον τοῦ Μανικάτῃ καὶ τῶν Παντοκρατορινῶν δικαίων ἐλεύθερον καὶ ἔξω βάρους τελεσματικοῦ ἀμπελῶνά μου τῶν ὀκτὼ μοδίων· τὴν πλησίον τοῦ Ἁγίου Ἠλιοὺ καὶ πλησίον τῶν δικαίων ἐκείνου τοῦ Μαγγάνη διακειμένην χωραφιαίαν γῆν μου τῶν τριῶν μοδίων καὶ τὰ ἀρτίως ἐν τῇ αὐτῇ μονῇ εὑρισκόμενα βιβλία, χαλκώματα, σιδηρικὰ βαγένια καὶ ὑλικὰ διάφορα. οὕτω καὶ κατὰ τοῦτον τὸν τρόπον ἐκθέμενος πρὸς ὑμᾶς τὸ παρὸν τῆς ἐθελουσίου μου ἀφιερώσεως ἅμα καὶ ἀποκαταστάσεως τῆς πολλαχῶς ῥηθείσης αὐτοδεσπότου ἐλευθέρας γονικῆς καὶ Ἁγιοτριαδικῆς μονῆς ἔγγραφον, οὐδεὶς ἐξ ὑμῶν τῶν τριῶν μοναχῶν, οὐδ᾽ ἕτερός τις, ἀλλ᾽ οὐδὲ ὁ περιὼν εὐλαβέστατος ἱερεὺς καὶ κληρικὸς ὁ γνήσιός μου αὐτάδελφος καὶ τέταρτος υἱός μου κῦρ Λέων ὁ Περδικάρης πειραθῇ ἀνατρέψαι προφάσει οἱᾳδήτινί ποτε τῶν καιρῶν τοῦτο, ἀλλὰ στερκτέα ὀφείλει ἡγεῖσθαι καὶ ἀπαρασάλευτα ἐς ἀεὶ κατὰ τὰ παρ᾽ ἐμοῦ ἐν αὐτῷ διοριζόμενα. καὶ ὁ πειραθησόμενος πρὸς ῥῆξιν τούτου τοῦ ἐγγράφου μου ἢ ἀκυρωσίαν χωρῆσαι καὶ ὑμᾶς κατά τι διασεῖσαι ἢ ὀχλῆσαι, ἢ εἰς τὴν τῆς μονῆς παραπομπὴν παρεμποδίσαι, ἢ σύγχυσίν τινα ἢ φύρσιν ἐν τῇ θεαρέστῳ ταύτῃ πρᾴξει μου ποιῆσαι, ὁ τοιοῦτος, ὁποῖος ἄρα καὶ εἴῃ, οὐκ ὀφείλει εἰσακούεσθαι ἐφ᾽ οἷς λέγειν ἔχει, ἀλλὰ σὺν τῷ διώκεσθαι αὐτὸν ἀπὸ παντὸς δικαστηρίου ἄπρακτον καὶ καταδεδικασμένον καὶ ἐπισπᾶσθαι καὶ τὰς τῶν ἀπ᾽ αἰώνων ἁγίων ἀρὰς κἀμοῦ τοῦ ἁμαρτωλοῦ ἀπαιτεῖσθαι καὶ πρὸς ὑμᾶς λόγῳ προστίμου νομίσματα ὑπερπύρων λίτρας

1) Ἐν τῷ πρωτοτύπῳ ἐγγράφῳ ἔξωθεν ἐπιγέγραπται τὸ «περὶ τῆς ἐν Κωνσταντινουπόλει ἡμετέρας Ἁγιοτριαδικῆς μονῆς Περδικάρη».

δύο, καὶ εὐθύνεσθαι καὶ κατὰ νόμους. εἶθ' οὕτως ἵνα ἔρρωται καὶ τὸ παρὸν ἔγγραφον, ὅπερ καὶ ἐγράφη τῇ θελήσει μου διὰ χειρὸς Δημητρίου διακόνου καὶ ἐπὶ τῶν δεήσεων, τοῦ Πυρροῦ, ἐκ προτροπῆς τοῦ ταβουλαρίου κυροῦ Μανουὴλ τοῦ Λαμπούδη. μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος γ', ἔτους ,ϛψμη' (= 1240).

+ Ματθαῖος ἱερομόναχος ὁ Περδικάρης παρὼν, ἀφιερῶν, ἐκθέμενος ὑπέταξα, εὐχόμενος στερέωσιν τούτου.

+ Ὁ Μεγαλοναίτης πρωτοπαπᾶς Ἰωάννης ὁ Βλαχερνῶν τῷ ἐγγράφῳ παρὼν καὶ μαρτυρῶν ἐπὶ πᾶσι τοῖς ἐν αὐτῷ δηλουμένοις ὑπέγραψα.

+ Γεώργιος ἱερεὺς καὶ κληρικὸς ὁ Καπηλαβᾶς.

+ Θεόδωρος ἱερεὺς καὶ κληρικὸς ὁ Ἀμαριανός.

+ Ὁ Ἁγιοσοφίτης καὶ Μεγαλοναίτης δομέστικος Ἰωάννης.

+ Ὁ ἄρχων τῶν κοντακίων τοῦ μεγάλου ναοῦ Κωνσταντῖνος ὁ Καπήλκης.

+ Μανουὴλ ταβουλλάριος ὁ Λαμπούδης.

+ Ὁ γραφεὺς Δημήτριος διάκονος ὁ Πυρρὸς βεβαιῶν ὑπέγραψα.

## 20.

## Πωλητήριον γράμμα.

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἀγάπη[1]) μοναχὴ Ἀγγελίνα Σφρατζαίνα ἡ Παλαιολογίνα ἡ ἐνταῦθα γράμμασιν οἰκειοχείροις καθὰ ὁρᾶται προτάξασα, πέπρακα, ἀποδέδωκα, καὶ σωματικῶς ἀπ' ἐντεῦθεν καὶ ἐξ αὐτῆς τῆς σήμερον παραδέδωκα ἑκουσίως πάντῃ καὶ ἀβιάστως καὶ ἀμεταμελήτως μετὰ καθολικῆς τε δεφενσίωνος καὶ πάσης ἄλλης νομίμου ἀσφαλείας καὶ ἐπερωτήσεως πρὸς ὑμᾶς τὸν ἀδελφόν μου, οἰκεῖον τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κύριν Θεόδωρον Δοῦκαν τὸν Σπαρτηνὸν καὶ τὸν ἐπ' ἀδελφῇ γαμβρόν μου κύριν Μανουὴλ τὸν Φαξηνόν, καὶ πρὸς ἅπαν τὸ μέρος ὑμῶν, κληρονόμους δηλονότι πάντας καὶ διαδόχους, τὸ ἐν τῇ περιοχῇ τῆς ἁγίας Μαρίας γονικόθεν περιελθόν μοι ἅπαν ὕπεργον ζευγηλατεῖον, μοδίων ὂν βασιλικῶν μεγάλων δισχιλίων τεσσαράκοντα τεσσάρων, καθὰ μετρηθὲν πρὸ μικροῦ παρά τε τοῦ Χρυσοβέργη καὶ τοῦ Μόσχου παρεδόθη ὑμῖν μετά τε τῆς ἐν αὐτῷ συνισταμένης καθέδρας καὶ ὧν ἔχει ἑτέρων δικαίων καὶ προνομίων παλαιῶν τε καὶ νέων, ἤτοι τὴν

1) Δυσχερὴς ἡ τοῦ ὀνόματος τούτου ἀνάγνωσις, κυμαινομένη μεταξὺ τῶν ὀνομάτων Ἀγάπη καὶ Ἀγάθη.

ἣν κέκτημαι ἐν αὐτῷ ἅπασαν δεσποτείαν καὶ κυριότητα, ὡς μηδὲν ἐξ αὐτοῦ παρυποκρατήσασα μέχρι σχεδὸν καὶ βήματος ποδός· πλησίον ὂν καὶ κατὰ πάντα ἡνωμένον τῶν τε σῶν τοῦ Δοῦκα Σπαρτηνοῦ δικαίων, τοῦ οἰκείου τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, τοῦ Κοτιανίτζη, τῆς Δουκαίνης καὶ τοῦ Βοΐλλα. καὶ ἔλαβον ἀφ' ὑμῶν ἀφ' ὅλης τῆς τούτου τιμῆς τῶν τριακοσίων δηλονότι τῶν νομισμάτων οὐγγιῶν τὰς διακοσίας χαριέντως καὶ κατὰ τὸ πάντῃ ἀπαράλειπτον, τὰς δὲ λοιπὰς ἑκατὸν εἴασα πρὸς ὑμᾶς, δι' ἣν κέκτημαι πρὸς ὑμᾶς γνησιωτάτην καθαρωτάτην καὶ εἰλικρινεστάτην συγγένειαν, τῶν ἐπιλοίπων μετρηθέντων ἐνώπιον καὶ ἐπὶ παρουσίᾳ τῶν οἰκείων τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, τοῦ τε Καβάσιλα κυροῦ Γεωργίου, τοῦ γνησίου υἱοῦ αὐτοῦ κυροῦ Δημητρίου τοῦ Καβάσιλα, τοῦ Δοβλετζινοῦ κυροῦ Κωνσταντίνου, τοῦ Καβάσιλα κυροῦ Ἰωάννου, καὶ τοῦ Τζίσκου κυροῦ Γεωργίου. ὀφείλετε τοίνυν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μετὰ παντὸς τοῦ μέρους καὶ τῶν κληρονόμων καὶ διαδόχων ὑμῶν κατέχειν καὶ διακατέχειν τὸ εἰρημένον ζευγηλατεῖον τῶν δισχιλίων δηλονότι τεσσαράκοντα τεσσάρων μεγάλων βασιλικῶν μοδίων, μετὰ τῆς ἐν αὐτῷ ὡς λέλεκται καθέδρας καὶ ὧν ἔχει ἑτέρων δικαίων καὶ προνομίων, δεσποτικῶς, ἐξουσιωδῶς, κυρίως καὶ ἀναφαιρέτως, ἔχοντες ἐξουσίαν πωλεῖν αὐτὸ, δωρεῖσθαι, ἀνταλλάττειν, προικοδοτεῖν, βελτιοῦν, καλλιεργεῖν, κληρονόμοις καὶ διαδόχοις ἐᾶν καὶ τἆλλα πάντα ποιεῖν καὶ πράττειν ἐπ' αὐτῷ, ὅσα τε ὑμῖν ἐστι πρὸς βουλῆς καὶ ὅσα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοῖς ἀληθέσι καὶ ἀναμφιλέκτοις τῶν πραγμάτων δεσπόταις ἐπὶ τοῖς αὐτῶν πράγμασι πράττειν διακελεύονται, ἐμοῦ τὸ ἀπὸ τοῦδε μεταμέλεσθαι ἀπάρτι ὅλως μὴ ἰσχυούσης ἐπὶ τῇ παρούσῃ καθαρᾷ καὶ ἀπεριέργῳ διαπράσει, ἀλλ' ὀφειλούσης μᾶλλον στοιχεῖν διόλου πάσῃ τῇ περιλήψει αὐτῆς. ὅθεν καὶ ἀποτασσομένη ἑκουσιοθελῶς σὺν τῷ μεταμέλῳ, τῇ πλάνῃ, τῇ βίᾳ, τῇ ἀνάγκῃ, τῇ δυναστείᾳ, τῇ συναρπαγῇ καὶ ἀπάτῃ, τῇ περιγραφῇ καὶ παραγραφῇ, τῇ ἐγγράφῳ καὶ ἀγράφῳ ὑποσχέσει, τῇ τοῦ νόμου καὶ φάκτου ἀγνοίᾳ, τῇ χλεύῃ, τῷ δελεασμῷ, τῇ ἰδιωτείᾳ καὶ ἀγροικίᾳ, τῷ θεματικῷ καὶ ὑπερθεματικῷ καὶ ὑπερδιπλασιασμῷ τοῦ τιμήματος, τῇ ῥᾳδιουργίᾳ καὶ πάσῃ καὶ παντοίᾳ δικαιολογίᾳ καὶ προφάσει, ἐπερωτῶμαι ὑμᾶς τοῖς ἀναγεγραμμένοις ἐξωνήτορσι καὶ τοῖς μέρεσιν ὑμῶν, ὡς ἐὰν ἀπὸ τῆς ἄρτι, εἴτε ὡς ἐκ μεταμέλου τυχὸν, εἴτε καὶ ἀπό τινος νομικῆς ἰσχύος καὶ βοηθείας πειραθῶ ἀνατρέψειν τὸ παρὸν πρατήριον ἔγγραφον καὶ οὐ μᾶλλον ποιῶ ὑμῖν καὶ τὸν καθολικὸν δεφενσίωνα τοῦ ἀναγεγραμμένου νομίμως καὶ διατηρῶ ὑμᾶς ἀζημίους καὶ ἀνενοχλήτους ἐκ παντὸς προσώπου καὶ μέρους, τοῦ ἴσως ὑμῖν περὶ αὐτοῦ ἐνοχλήσοντος, καὶ πάσης ἄλλης ἀναφυησομένης ὑμῖν περὶ αὐτοῦ ἀγωγῆς καὶ προφάσεως, οὐ μόνον ἵνα μὴ εἰσακούωμαι,

ἐφ᾽ οἷς ἂν ἴσως ἔχω λέγειν, ἀλλὰ σὺν τῇ διπλασίονι ἐπιστροφῇ τῶν ὧν ἔλαβον, ὡς ἀνωτέρω λέλεκται, διακοσίων οὐγγιῶν, τῇ δόσει τε τῶν παρ᾽ ὑμῶν καὶ τοῦ μέρους ὑμῶν καταβληθησομένων ἐν αὐτῷ ἐξόδων πασῶν εὐθύνωμαι καὶ κανονικῶς ἢ κατὰ νόμους σὺν τῷ καὶ οὕτως ἐρρῶσθαι τὸ παρὸν πρατήριον ἔγγραφον, ἰσχύειν ὀφεῖλον καὶ ὡς πρακτικὸν σωματικῆς καὶ τοπικῆς παραδόσεως. ἐγράφη ταῦτα διὰ χειρὸς Ἰωάννου διακόνου ἐπὶ τῶν γονάτων τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης καὶ ταβουλαρίου τοῦ Ἀναστασιοπούλου. μηνὶ Ἰουλίῳ δ΄, ἰνδικτιῶνος θ΄, ἔτους ͵ςωμθ΄ (= 1341).

✝ Ἀγάπη μοναχὴ Ἀγγελίνα Σφρατζαίνα ἡ Παλαιολογίνα ὑπέγραψα [1]).

✝ Ὁ ἐπὶ τῶν γονάτων τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης καὶ ταβουλάριος Ἰωάννης διάκονος ὁ Ἀναστασιόπουλος.

## 21.

### Περὶ ἀνταλλαγῆς τόπων.

Ἐπεὶ οἱ κατὰ τὸ ἅγιον ὄρος Ἄθω ἐνασκούμενοι τῆς σεβασμίας βασιλικῆς ἁγίας καὶ μεγάλης Λαύρας τιμιώτατοι ἱερομόναχοι καὶ πατέρες ἀνέφερον καὶ παρεκάλεσαν τὸν κραταιὸν καὶ ἅγιόν μου αὐθέντην καὶ βασιλέα, ἵνα διὰ τὰς ἐπιθέσεις καὶ ὀχλήσεις, ἃς εὑρίσκουσιν ἐν τοῖς αὐτῶν μετοχίοις, γένηται ἀνταλλαγὴ καὶ ἐπιλάβηται τὸ μὲν μέρος τοῦ δημοσίου ἐξ ὁλοκλήρου ἐκ τῶν αὐτῶν χωρίων τὰ σιδηροκαύσια καὶ τοὺς καρβέλους, αὐτοὶ δὲ πάλιν ἐπιλάβωνται ἐξ ὁλοκλήρου τῶν χωρίων Δρυμοσίρτων [2]) καὶ τοῦ Πίνσωνος καὶ τοῦ Λωρωτοῦ, οὔσης τῆς τοιαύτης ἀνταλλαγῆς ἐν τῇ ποσότητι καὶ δόσει τῶν ἐξόδων τῶν διδομένων ἐτησίως ἴσης καὶ κατὰ πάντα ὁμοίας, καὶ διωρίσατο καὶ εὐηργέτησε γενέσθαι τοῦτο οὕτως κατὰ τὴν αὐτῶν ζήτησιν καὶ παράκλησιν. γέγονε δὲ διὰ τῆς ἀπογραφῆς κατὰ τὸν θεῖον αὐτοῦ καὶ προσκυνητὸν ὁρισμὸν καὶ παρεδόθησαν ἐξ ὁλοκλήρου τὰ εἰρημένα χωρία πρὸς τὸ μέρος τῆς σεβασμίας ἱερᾶς καὶ μεγάλης Λαύρας, ἤτοι τὸ Δρυμόσιρτα, ὁ Πίνσων καὶ τὸ Λωρωτὸν καὶ τὰ ἐν αὐτοῖς παρακείμενα παλαιοχώρια, καὶ τὰ δίκαια πάντων τῶν ἐν αὐτοῖς κατοι-

---

1) Ἐν τῇ τοῦ Ξηροποτάμου μονῇ σώζεται ἓν ἔγγραφον ἀφιερωτικὸν Ἀγάθης Παλαιολογίνης ὑπὸ χρονολογίαν 6950, 20 Σεπτεμβρίου, ἰνδικτιῶνος 9. Langlois, Mont Athos.

2) Μέχρις ἐσχάτων κατείχετο ὑπὸ τῆς Λαύρας, νῦν δὲ εὑρίσκεται ὑπὸ τὴν κυριότητα μουσουλμάνου τινὸς καὶ καλεῖται διὰ τοῦτο «μουχτίδικον».

κούντων ἀνθρώπων. ὁμοίως παρέλαβεν ἐξ αὐτῶν καὶ τὸ μέρος τοῦ δημοσίου ἐξ ὁλοκλήρου τὰ σιδηροκαύσια καὶ τοὺς καρβέλους, μετὰ τῶν ἐν αὐτοῖς πάντων ἀνθρώπων καὶ τῶν δικαίων πάντων αὐτῶν καὶ τῶν διακειμένων ἐν τούτοις παλαιοχωρίων, ἀμφότερα ὄντα τῆς αὐτῆς καὶ ὁμοίας ποσότητος, καθὼς κατὰ μέρος ὀνομαστὶ τὸ τῆς ἀπογραφῆς γεγονὸς γράμμα διαλαμβάνει, ἀλλὰ δὴ καὶ τὸν μερισμὸν τοῦ ἡμετέρου χωρίου τοῦ Γομάτου [1]), ὥστε ἀπὸ τοῦ νῦν διατηρῶνται οἱ δηλωθέντες τιμιώτατοι μοναχοὶ τῆς σεβασμίας Λαύρας καὶ τὰ ἐξ ὁλοκλήρου δοθέντα αὐτοῖς χωρία καὶ τὰ δίκαια πάντων τούτων καὶ τῶν ἐν αὐτοῖς εὑρισκομένων ἀνθρώπων καὶ τῶν θελόντων παρ' αὐτῶν προσκαθῖσαι καὶ τὸ ἥμισυ ἅπαν τοῦ Γομάτου ἀνενόχλητα, ἀτάραχα, ἀζήμια, ἀθεώρητα ἔκ τε τῶν τοῦ δημοσίου καὶ ἐκ τῶν βασιλικῶν ἀπαιτήσεων καὶ δόσεων κατὰ τὸ γεγονὸς ἔγγραφον περὶ τοῦ τῆς ἀπογραφῆς μερισμοῦ· ἐδέησε δὲ ἐπὶ τούτοις γενέσθαι εἰς πλείονα τὴν ἀσφάλειαν τῆς τοιαύτης ἀνταλλαγῆς καὶ ὁρισμὸς τῆς βασιλείας μου. αὕτη διορίζεται διὰ τοῦ παρόντος αὐτῆς ὁρισμοῦ τὸ στέργον ἔχειν καὶ βέβαιον ὁ παρὰ τῆς ἀπογραφῆς γεγονὼς ἔγγραφος μερισμὸς τῆς ἀνταλλαγῆς ὁρισμῷ καὶ εὐεργεσίᾳ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως εἰς πάνθ' ὅσα κατὰ μέρος διαλαμβάνει, καὶ ἔχειν ἐξ ὁλοκλήρου ἀπὸ τοῦ νῦν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους τὴν σεβασμίαν καὶ ἱερὰν μεγάλην Λαύραν τὰ δηλωθέντα χωρία καὶ τὰ ἐν τούτοις παλαιοχώρια καὶ τοὺς ἐν αὐτοῖς πάντας ἀνθρώπους καὶ τοὺς μέλλοντας ἐλθεῖν παρ' αὐτῶν καὶ τὰ δίκαια πάντων τούτων ἀνενόχλητα, ὡς καὶ πρῶτον, ἐκ παντὸς δημοσιακοῦ κεφαλαίου καὶ ἐκ πάσης δόσεως, ὁμοίως καὶ τὸ ἥμισυ τοῦ Γομάτου, ὀφείλοντας μόνον διὰ τοὺς τοιούτους ἀνθρώπους ἀποδιδόναι κατ' ἔτος χάριν τοῦ σίτου τῶν κατέργων τὸ σύνηθες δηνάριον. τούτου χάριν ἐγένετο καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου κατὰ μῆνα Ἀπρίλιον τῆς β' ἰνδικτιῶνος τοῦ ,ϛϡιζ' (= 1409) ἔτους.

+ Ὁ δεσπότης [2]).

## 22.

### Ἡ πατέντα τοῦ ἁγίου.

Ἐνδοξότατοι, ἐκλαμπρότατοι καὶ περίβλεπτοι αὐθένται, σινιὸρ καπετάνιοι τῆς σταυροφόρου παντιέρας τοῦ κυρίου μας Ἰησοῦ Χριστοῦ, οἱ ἐν τῷ δεινῷ καὶ μεγάλῳ πελάγει τῆς θαλάσσης περιερχόμενοι, ὅπου μὲ δύναμιν

1) Χωρίον σωζόμενον παρὰ τῇ Ἱερισσῷ.
2) Ἀντὶ ὑπογραφῆς αὕτη μόνον ἡ λέξις μεγάλοις γράμμασι γέγραπται.

τοῦ Χριστοῦ καὶ μὲ πρεσβείαν τοῦ ἁγίου Ἰωάννου καὶ πάντων τῶν ἁγίων ὁμοῦ καὶ μὲ τὴν βοήθειαν τοῦ σταυροῦ ἀντιπολεμᾶτε τοὺς ἀντιμάχους ἐχθροὺς τῆς πίστεώς μας, εὐχόμεθά σας ἡμεῖς οἱ πτωχοὶ καλόγηροι τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου καὶ θαυματουργοῦ τοῦ ἐν τῇ Σκύρῳ εὑρισκομένου, ἐπιδεόμενοι τοῦ ἁγίου παντοτεινὰ ἵνα ἔχητε ὑγείαν καὶ εὐτυχίαν μὲ ὅλην τὴν κουμπανίαν, ντενέντιδες, σιγούντές καὶ τῶν λοιπῶν ἀρμαδούρων· ἡ χάρις τοῦ Χριστοῦ μας διὰ πρεσβειῶν τοῦ ἁγίου νὰ ἦναι ἔμπροσθεν εἰς τὰ εὐλογημένα σας πλεούμενα καὶ μπαστουμέντα, οἱ ἀέρες νὰ σᾶς ἦναι ἥμεροι καὶ γλυκύτατοι καὶ νὰ ἔχητε τὴν νίκην μὲ τὸν τίμιον σταυρὸν καὶ τοῦ ἁγίου τὴν βοήθειαν. μὲ τὸ παρόν μας συστατικὸν γράμμα σᾶς δίδομεν πίστιν καὶ φέδαν, ὅτι τὸ καράβι τοῦτο εἶναι τοῦ ἁγίου Γεωργίου ὅλον, τὸ ὁποῖον ἡμεῖς οἱ καλόγηροι μὲ ἐλεημοσύνην τῶν χριστιανῶν ἐφθειάσαμεν καὶ διὰ κυβέρνησιν μας εἰς χεῖρας τοῦ κῦρ Μαρίνου καραβοκύρη ἐδώσαμεν νὰ τὸ ταξειδεύῃ εἰς κάθε τόπον. ὅθεν σᾶς παρακαλοῦμεν ἵνα εἰς ὅποιαν σταυροφόρον πλώρην σας ἢ παντιέραν ἤθελε τύχῃ, νὰ τὸ διαφενδεύητε ὡς ἰδικόν σας, νὰ μὴ ἔχῃ καμμίαν πείραξιν, ἐπειδὴ καὶ μὲ τὸ θάρρος σας ἐφθειάσθηκεν. διὸ εἰς πίστιν ἐδώσαμεν τὸ παρὸν μὲ τὴν βοῦλλαν τοῦ ἁγίου νὰ σᾶς βοηθῇ. κατὰ Ἀπρίλιον ͵αυιε΄ (= 1415).

## 23.

### Ἀθανάσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐπειδὴ ὁ ἱερώτατος μητροπολίτης Θεσσαλονίκης ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἱκετίαν ἡμῖν ἐποιήσατο ὑποτεθῆναι ὡς μετόχιον τὴν κατὰ τὴν Σκῦρον νῆσον διακειμένην σεβασμίαν πατριαρχικὴν μονὴν τοῦ ἁγίου ἐνδόξου περιβοήτου μεγαλομάρτυρος Γεωργίου τῇ κατὰ τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθω περιωνύμῳ Λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου, ἡ μετριότης ἡμῶν ἅμα μὲν μὴ ἔχουσα τὴν τούτου δέησιν παριδεῖν, ἅμα δὲ καὶ πρὸς τῶν τῆς Λαύρας μοναχῶν σπουδαίως καὶ θεοφιλῶς ἀπιδοῦσα καὶ ὡς οὐ μόνον ἡ καταπιστευομένη τούτοις μονὴ εἰς ὅπερ νῦν ὁρᾶται συντηρηθήσεται ἔχουσα, ἀλλὰ καὶ ἐπὶ τῷ πολλῷ βελτιώσεως προκόψει τῇ ἐπιμελείᾳ τούτων, ἀλλὰ καὶ ἐπὶ τὰ καλὰ ἔργα συντονωτάτῃ σπουδῇ, εὐδοκεῖ τοῦτο καὶ διακελεύεται ἐν ἁγίῳ πνεύματι διὰ τοῦ παρόντος σιγιλλιώδους αὐτῆς γράμματος τὸ

ἀπὸ τοῦδε ἡνωμένην εἶναι τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν τοῦ ἐν μάρτυσιν περιβοήτου καὶ τροπαιοφόρου Γεωργίου καὶ ὡς μετόχιον ὑποτεθειμένην τῇ περιωνύμῳ λαύρᾳ τοῦ Ἁγίου Ἀθανασίου, καθὼς καὶ τὰ ἀνέκαθεν μετόχια τὰ ὑποτεταγμένα ταύτῃ· ἐφ' ᾧ καὶ οἱ μοναχοὶ τῆς Λαύρας ὀφείλουσιν ἐπιλαβέσθαι τῆς ῥηθείσης τοῦ ἁγίου Γεωργίου μονῆς καὶ τῶν ὑπ' αὐτὴν πάντων κτημάτων ἐπιμελεῖσθαι· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος γεγονὸς ἐπεδόθη τῇ διαληφθείσῃ περιωνύμῳ Λαύρᾳ τοῦ Ἁγίου Ἀθανασίου εἰς ἀσφάλειαν. ͵αυμζʹ (= 1447), ἰνδικτιῶνος θʹ.

Ἀλέξανδρος Ε. Λαυριώτης.